# TEZAUR LITURGIC

## 12 FEBRUARIE
## GHEORGHIOS GALANOPOULOS

# SLUJBA SF.CUVIOS MELETIE DE LA YPSENIS-RHODOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 ΦΕΒΡΟΥΑΡΙΟΣ ΜΕΛΕΤΙΟΣ ΟΣΙΟΣ ΥΨΕΝΗΣ ΡΟΔΟΥ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ὑμνήσωμεν σήμερον πιστοί, μνήμην τὴν πανίερον, ἐν μελιχροῖς θείοις ᾄσμασι, Χριστὸν δοξάζοντες, θείου Μελετίου, τοῦ καροῖς ἐκλάμψαντος, ἐσχάτοις Ὑψένης Μονῆς κτίτορος, ὃν μακαρίσωμεν, ἐκζητοῦντες τὴν ἀντίληψιν, καὶ πρεσβείαν τούτου πρὸς τὸν εὔσπλαγχνον.

Τιμῶμέν σε Πάτερ ἐν ᾠδαῖς, τῶν πιστῶν συστήματα, θεῖε Μελέτιε ἔνδοξε, βλαστὲ θεόφυτε, κώμης Λάρδου Ῥόδου, ἀσκητὰ πανάριστε, πιστὲ τὸν τὴν μορφὴν Θεομήτορος, δήλην ποιήσαντα, τῷ ὁράματι καὶ πήξαντα, ταύτῃ δόμον καὶ Μονὴν πανίερον.

Σπηλαίῳ πτωχείᾳ βίον σόν, καρτερῶς διήνυσας, ὥσπερ ἀδάμας στεῤῥότατος, σκληροῖς παλαίσμασιν, αὐστηρᾷ νηστείᾳ, καὶ συκοφαντούμενος, Χριστὸν ἐξιλεὼν καὶ τοὺς δαίμονας, μαστίζων Ὅσιε, τῷ Σταυρῷ περιζωννύμενος, μοναζόντων δόξα ὦ Μελέτιε.

Τῆς Ῥόδου πυρσὸν τὸν φωταυγῆ, ἐν ὕστέροις ἔτεσιν, ὅτε τὸ σκότος ἐκάλυπτε, τῆς πλάνης ἅπαντας, ζοφερᾶς δουλείας, Ὅσιον Μελέτιον, τῇ πίστει στερεοῦντα κηρύγματι, τοὺς καταπίπτοντας, εἰς βυθὸν τῆς ἀπογνώσεως, μελῳδίαις θείαις μεγαλύνομεν.

*Δόξα. Ἦχος β΄.*

Τοῦ πανευφήμου ἀσκητοῦ, καὶ θείου βλαστοῦ τῆς Λάρδου, τὴν πανσεβάσμιον μνήμην ἑορτάζοντες φιλέορτοι σήμερον, πνευματικῶς εὐφραινόμεθα, ὅ,τι Ῥοδίοις ἐδόθη παρὰ Θεοῦ, ἀντιλήπτωρ καὶ φρουρός. Δεῦτε οὖν αἱ χορεῖαι τῶν πιστῶν, προσδράμωμεν περιχαρῶς, τῇ ἱερᾷ Θεομητορικῇ Μονῇ τῆς Ὑψενῆς, ἵνα κατασπασώμεθα πόθῳ, τὴν τιμίαν πανθαύμαστον κάραν, τὴν βλύζουσαν δαψιλῶς ἰάματα, καθάπερ Σιλωὰμ Κολυμβήθρα, Μελετίου τοῦ θεόφρονος, ἐκζητοῦντες τὰ κρείττονα. Καὶ τῷ φιλανθρώπῳ Δεσπότῃ, τῷ ἁγιάσαντι τοῦτον, δεηθῶμεν ἐκ ψυχῆς, ὅπως ταῖς πρεσβείαις τοῦ Ὁσίου, παράσχῃ ἡμῖν ἄφεσιν πταισμάτων, καὶ δωρήσηται πᾶσι τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον. Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.*

Χαῖρε, Θεοτόκε Μαριάμ, τῶν πολεμουμένων ἡ σκέπη, ἀδικουμένων λιμήν, τεῖχος καὶ ὀχύρωμα, τῶν προστρεχόντων εἰς Σέ, Ἀποστόλων τὸ καύχημα, Ἀγγέλων ἡ δόξα, Ὁσίων ἐντρύφημα, ἀπηλπισμένων ἐλπίς, ὅθεν, δίδου χάριν Σου πᾶσι, καὶ πρὸς Σὸν Υἱὸν μεσιτείαν, ἵνα τῆς γεένης πῦρ ἐκφύγωμεν.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δῆμος Χριστιανῶν, προστρέξωμεν ἀσμένως, ἐν μάνδρᾳ τῆς Παρθένου, ἵνα βλαστὸν τῆς Λάρδου, Μελέτιον τιμήσωμεν.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Ἄνθος μυριστικόν, Μελέτιε ἐδείχθης, πυρσὸς σκοτιζομένων, τῇ πίστει ἐνισχύων, δουλείας χρόνοις ἅπαντας.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἅγιος εἶ Θεέ, καὶ θαυμαστὸς ἐν πᾶσι, βοήσωμεν τῷ Κτίστῃ, ὁ δοῦλόν Σου δοξάσας, Μελέτιον τὸν Ὅσιον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σῶσον ἡμᾶς Χριστέ, Ὁσίου Σου πρεσβείαις, καὶ τῆς ἁγνῆς Μητρός Σου, τοὺς προσκυνοῦντας πίστει, Τριάδα Ὁμοούσιον.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸ θεόφυτον δένδρον καρπὸν φέρον τὸν εὔχημον, Λάρδου καὶ Ῥοδίων τὸ κλέος, ἀσκητῶν τὸ ἀγλάϊσμα, Μελέτιον τιμήσωμεν ψαλμοῖς, τὸν κτίτορα Μονῆς τῆς Ὑψενῆς, θείᾳ νεύσει ὑπὸ δένδρον, Κόρης μορφὴν εὑρόντα πίστει κράζοντες· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

*Δόξα.*

Τὸν πυρσὸν εὐσεβείας καὶ Ῥοδίων τὸν κήρυκα, πίστιν τοῦ Χριστοῦ ἐν Ὑστέροις, τοῖς καιροῖς ἐνισχύσαντα, θερμὸν πνευματικὸν ἀφυπνιστήν, κοσμήσαντα τὸν βίον ἀρεταῖς, σὺν παλαίσμασιν ἐνθέοις καὶ ἱεροῖς, ὑμνήσωμεν κραυγάζοντες· Χαίροις τῶν ἀσκητῶν κλέος λαμπρόν, χαίροις τῶν Ὁσίων καύχημα, χαίροις Μελέτιε πιστῶν ὁ πρέσβυς πρὸς τὸν Κύριον.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὑψενῆς τὴν Μονήν Σου σκέπε φρούρει καὶ φύλαττε, Μῆτερ Θεοτόκε Παρθένε, εἰς αἰῶνας ἀσάλευτον, καὶ ῥῦσαι ἀσκουμένας καὶ πιστούς, παθῶν κινδύνων νόσων συμφορῶν, σὺν πρεσβείαις Μελετίου ὅπως Θεόν, δοξάζωμέν Σοι κράζοντες· Δόξα τοῖς μεγαλείοις Σου ἁγνή, δόξα τῷ θείῳ Τόκῳ Σου, δόξα τῇ ἀκοιμήτῳ δι᾿ ἡμᾶς θερμῇ πρεσβείᾳ Σου.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! Θείᾳ νεύσει πιστός, ὑπὸ δένδρου εὕρατο, τῇ ῥίζῃ σεπτὴν μορφήν, τῆς Θεομήτορος, Μελέτιος ὁ ποιμήν, τῇ Ὑψενῇ ἔνθα

οἶκον ἐπήξατο, γενόμενος μοναχός, ἐπῳκοδόμησε μάνδραν πανίερον, ὅθεν φιλεόρτων πλήθη, τρέξωμεν ἀσπάσασθαι, αὐτοῦ κάραν βοῶντες· χαίροις Πάτερ, χαρὰν ἄληκτον.

Βαβαὶ τῶν σῶν παλαισμάτων στεῤῥέ! ἐν σπηλαίῳ πάντα, πειρασμὸν ὑπήνεγκας, σατᾶν τὰς ἐπιδρομᾶς, λίθοις βαλλόμενος, νηστείαν τὴν αὐστηράν, ψύχους δριμύτητα, πόνους ἀσκήσεως, καὶ ἔμεινας νουνεχῶς, Χριστὸν δοξάζων, ἀπαύστως δεόμενος, ὢ σῆς καρτερίας Πάτερ, δι᾽ ἧς ἐξευμένισας, τὸν Θεόν σου τρισμάκαρ, παρ᾽ οὗ νῦν πιστῶς δεδόξασαι.

Τὰ σὰ τιμῶμεν παλαίσματα, καὶ τὴν θείαν μνήμην, ἡμῶν πρέσβυ ἔνθερμε, Μελέτιε θαυμαστέ, καὶ τοῦ Χριστοῦ ἐραστά, ὁμότροπε ἀσκητῶν, καὶ θεαρέστῳ σου βίῳ ἰσάγγελε, στηρίζων Χριστιανούς, δουλείας χρόνοις, καὶ λέγων ἐκ πίστεως, ὢ τεκνία τῷ Δεσπότῃ, Ὃς ἡμᾶς ἠγάπησεν, ἀγαπήσατε πάνυ, δωρουμένῳ πᾶσιν ἔλεος.

*Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασι.*

Ποίοις, εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν θεοφόρον, Λάρδου τὸ θεόφυτον βλάστημα, καὶ πιστῶν Ῥοδίων ἀγλάϊσμα, τὸν ἁπλοῦν Μελέτιον τοῖς τρόποις, δαιμόνων, τὸν καθαιρέτην καὶ πολέμιον, ἀνθρώπων, τὸν εὐεργέτην καὶ διδάσκαλον, ἐν διδαχαῖς νουθετοῦντα, τοὺς αὐτῷ ἰόντας, δεομένων τὸν ἀρωγόν, Θεοῦ φίλον γνήσιον, παρ᾽ οὗ στέφος ἄφθαρτον εἴληφε.

Ποίοις, μελῳδικοῖς ᾄσμασιν, ἀνυμνήσωμεν Χριστοῦ τὸν φίλον, τὸν ἐν τῇ ἀσκήσει ἐμπρέψαντα, καὶ τῇ ὁσιότητι λάμψαντα, τὸν στεῤῥὸν Μελέτιον τοῖς πόνοις, σὺ πάντα, τερπνὰ τοῦ βίου Πάτερ ἔλιπες, πρακτέων, τῶν ἀγαθῶν κατακοσμούμενος, καὶ Θεὸν εὐαρεστήσας, παρ' Αὐτῷ αὐλίζει, μεθ' Ἁγίων ἐκδυσωπῶν, τοῖς μνήμην σου πάμφωτον, ἐπιτελοῦσι δοῦναι ἔλεος.

Ποίοις, πνευματικοῖς ῥήμασι, μακαρίσωμέν σε θεῖε Πάτερ, καὶ γὰρ ἐν θορύβοις ἐβίωσας, καὶ ταῖς ἀρεταῖς ἐγεώργησας, τοῖς ὁσίοις ἔργοις καὶ ἀμέμπτοις, λιπόντα οἶκον σπηλαίῳ, χρόνοις ᾤκησας, ὡς πένης τῇ προσευχῇ ἐνδιαιτώμενος, τοῖς ἐγκρατείας τοῖς τρόποις, διὸ πάντας σκέπε, σαῖς ἱκεσίαις πρὸς Θεόν, Μελέτιε ἔνδοξε, τοὺς σὲ τιμῶντας καὶ γεραίροντας.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, λαμπρῶς ἐξέλαμψεν, ὡς νοητὴ ἀνατολή, ἡ θεία μνήμη τοῦ θεοφόρου πατρὸς Μελετίου, τὴν Ἐκκλησίαν φαιδρύνουσα. Δεῦτε οὖν φιλέορτοι, καὶ μοναστῶν αἱ χορεῖαι, συναχθῶμεν ἐν τῷ Οἴκῳ Κυρίου, καὶ τῷ πνεύματι ἀγαλλόμενοι, τοῖς ᾀσματικοῖς ἄνθεσι τοῦτον καταστέψωμεν, ἐν ἐγκωμίοις λέγοντες· Χαίροις, ὁ τῷ Χριστῷ ἀκολουθήσας, καὶ ἄχρι βίου δυσμῶν Αὐτῷ δουλεύσας, ἐν σκληρᾷ ἀσκήσει, καὶ πανοσίᾳ βιοτῇ· χαίροις, ὁ τῇ πολιτείᾳ σου, ταῖς ἀρεταῖς κοσμήσας, καὶ πάντα τὰ τερπνὰ καὶ ἡδέα λιπών, ἐν τῷ σπηλαίῳ παρέμεινας χρόνοις, διώκων δαιμόνων τὰς φάλαγγας· χαίροις, ὁ φάρος τῶν πιστῶν,

ὁ ταῖς θείαις διδαχαῖς, καὶ σοφαῖς νουθεσίαις σου, φωτίσας τὰ πλήθη, ἁπάντων ἀρωγὸς καὶ πρέσβυς ἔνθερμος. Διὸ Πάτερ παμμακάριστε, ὁ τῆς Τριάδος θρόνῳ νῦν παριστάμενος, ἱκέτευε δεόμεθά σου ἐκτενῶς, Χριστῷ τῷ Θεῷ ἡμῶν, σωθῆναι τοὺς τιμῶντάς σε.

*Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον

ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις

διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ

σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἀγάλλου ἐν Κυρίῳ, ἡ Μονὴ τῆς Ὑψενῆς, καὶ σκιρτάτω φιλεόρτων ἡ πληθύς, ἐπὶ τῇ πανεδόξῳ μνήμῃ σήμερον, τοῦ Ὁσίου Μελετίου. Οὗτος γὰρ διέλαμψεν ἀσκητικοῖς παλαίσμασιν, ἐν νηστείαις καὶ δεήσεσι, τὸν Θεὸν νυχθημερὸν ἱλεσκόμενος. Καὶ τὰ πάθη καθηράμενος, ὡς ἄσαρκος ἐβίωσε, γεωργήσας ταῖς ῥοαῖς τῶν δακρύων του, περιχαρῶς ἁπάσας τὰς ἀρετάς, καὶ ὑπομείνας ἀγογγύστως, δεινὴν συκοφαντίαν. Νῦν δέ, ἐν τοῖς οὐρανοῖς παριστάμενος, τῷ θρόνῳ τῆς θείας μεγαλωσύνης, ὑπὲρ τῶν τιμώντων τὴν μνήμην του, ἐκδυσωπεῖ τῷ Κυρίῳ, δωρηθῆναι πᾶσι, τὸ μέγα ἔλεος.

*Ὁ αὐτός.*

Δεῦτε πιστοὶ εὐφρανθῶμεν ἐνθέως, καὶ ὑμνήσωμεν μοναστῶν ποδηγέτην, Χριστιανῶν ἀρωγόν, πατέρα καὶ διδάσκαλον τῆς Ἐκκλησίας, στῦλον τῶν δογμάτων τῆς πίστεως ἀκλόνητον, ἄνδρα ταῖς ἀρεταῖς κεκοσμημένον, Μελέτιον τὸν θεοῤῥήμονα, καὶ τῇ βιοτῇ ἰσάγγελον, τὸ κλέος τῶν Ῥποδίων. Τὸν τοῖς θαύμασι καὶ θείοις λόγοις, πάντας διδάξαντα, Τριάδα σέβειν Ἁγίαν, ἣν νῦν παριστάμενος ἀπαύστως ἐκδυσωπεῖ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Δεῦτε χριστιανῶν ἡ ὁμήγυρις, καὶ τῶν μοναζόντων τάξεις, καταστέψωμεν θείοις ὕμνοις, ὃν ὁ πανοικτίρμων ἔστεψε Θεός, ἀμαραντίνῳ στεφάνῳ. Ὅτι, ὡς ὁ Δαβὶδ ὁ ψαλμῳδός, ὁ ἐν Ψαλμοῖς φωνήσας·

δίκαιος ὡς φοίνιξ ἀνθήσει, ἐξήνθησεν ὁ θεῖος οὗτος Μελέτιος, ἄνθρωπος πλήρης ἔργων ἀγάπης καὶ δικαιοσύνης, τρόπων προσευχῆς καὶ ἐγκρατείας, ἀρετῶν σκεῦος στιλπνόν, σωφροσύνης καὶ ταπεινώσεως, βιώσας ὥσπερ ἄσαρκος. Αὐτῷ οὖν φιλέορτοι πιστῶς ἐκβοήσωμεν· πρέσβευε Ἅγιε, τῷ ἀθανάτῳ Δεσπότῃ, καὶ Σωτῆρι Λυτρωτῇ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος γ΄.*

Ἰδοὺ νῦν ἐπέλαμψεν, ἑορτὴ τιμία, καὶ πανήγυρις φαιδρά, τῆς θείας μνήμης, Μελετίου τοῦ θεόφρονος. Αὕτη οὖν ἡμᾶς προτρέπει ἀδελφοί, εἰς ἐκκοπὴν τοῦ ἰδίου θελήματος, τῶν ψυχοκτόνων παθῶν, καὶ τῆς σωματικῆς ὀκνηρίας, ἵνα τῇ τοῦ Πνεύματος χάριτι, ἀξιωθῶμεν προσκυνῆσαι ἐν πίστει, Χριστὸν τὸν πολυέλαιον. Διὸ ὑμνήσωμεν ᾄσμασι πιστοί, τὸν ἰσαγγέλως βιώσαντα Ὅσιον, καὶ πυρσεύσαντα πιστῶν τὰς φρένας, τῇ κάρᾳ καὶ τοῖς σεπτοῖς λειψάνοις τούτου προσπίπτοντες. Ὅτι, ὡς πρέσβυν εὐμενέστατον, κατέχομεν πάντες, πρὸς τὸν φιλάνθρωπον Σωτῆρα, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ὁ αὐτός.*

Θεῖε διδάσκαλε, Μελέτιε Πάτερ, τῆς Λάρδου βλαστέ, φωστὴρ τῶν Ῥοδίων, καὶ σατᾶν καθαιρέτα, ὁ ἱερωσύνης χάριτι ἀξιωθείς, τῷ Σωτῆρι λειτουργῶν, σὺν Ἀγγέλοις ἀπαύστως, πρέσβευε ῥυσθῆναι, ἀπὸ πάσης ἀνάγκης, τὰς ψυχὰς ἡμῶν.

*Ἦχος δ΄.*

Τίς σου τὰ φρικτὰ θαυμάσια, ὦ Μελέτιε ἐξυμνήσειε; Τίς σου τὰς θεοειδεῖς ἀρετάς, τρισμάκαρ ἐπαινέσειεν; ἢ τίς σου τὸν πολύαθλον βίον, κοσμήσειεν ἄνθεσιν, Ὅσιε; Μηδεὶς ἡμῶν ἐπαξίως ταῦτα τολμᾶ, ἄνευ τῆς τοῦ παναγίου Πνεύματος δωρεᾶς, καὶ τῆς σῆς ἐπικουρίας Ἅγιε. Ὅτι ἀξίως πολιτευσάμενος, καὶ καθηράμενος τὸν νοῦν, ἐθησαύρησας ἐν τῇ ψυχῇ σου, τὸν πλοῦτον τῶν θείων ἀρετῶν, ὑπακοῇ καὶ ταπεινώσει, τὸ ἔτι ζῶν θαυματουργεῖν, ἀδιαλείπτῳ προσευχῇ καὶ ὑπερμέτρῳ νηστείᾳ, τὸ φυγαδεύειν τοὺς δαιμονας, ἀνυποκρίτῳ δ' ἀγάπῃ, ἀμνησικακίᾳ μετ' ἀκριβοῦς δικαιοσύνης, τὴν μετὰ τέλος παρὰ Θεοῦ ἁγιότητα. Διὸ δίδου, τοῖς σὴν μήμην τιμῶσιν, εὐπροσδέκτοις σου λιταῖς, πρὸς τὸν οἰκτίρμονα Χριστόν, ἄφεσιν πταισμάτων, καὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν.

*Ἦχος πλ. β΄.*

Τῇ πνευματικῇ τραπέζῃ, τῆς σεβασμίας ἐν Ὑψενῇ Μονῆς, δεῦτε ἀδελφοὶ προσέλθωμεν, μετὰ πίστεως καὶ ἀγάπης, ἵνα μετάσχωμεν κἀμεῖς, τῆς ἑορτίου ξενίας, ἣν πλουσίως παρέχει ὁ ἑστιάτωρ Πατήρ, ὁ τοῖς τρόποις καὶ βιοτῇ ἁπλοῦς, θεῖος Μελέτιος. Καὶ ὑμνοῦντες αὐτόν, ἐν θεοτερπέσι μέλεσιν, ἀσπασώμεθα τὴν πανθαύμαστον κάραν, σὺν τῷ χαριτοβρύτῳ τούτου λειψάνῳ, ἐκτενῶς ἀνακράζοντες· πρέσβευε Ἅγιε, τῷ ἀθλοθέτῃ Νυμφίῳ σου Χριστῷ, ὅπως εὕρωμεν ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, οἱ τιμῶντες ἱεροπρεπῶς, τὴν ἀεισέβαστον μνήμην σου.

*Ὁ αὐτός.*

Θεράπον Χριστοῦ, καὶ προστάτα ἡμῶν θερμότατε, Μελέτιε τρισμάκαρ, ὁ τῆς Ὑψενῆς πανσέπτου μάνδρας, κτίτωρ οἰκιστής, καὶ φρουρός, μὴ ἐλλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν, τὸν οἰκτίρμονα Θεόν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Σήμερον, ἡ Μονὴ τῆς Ὑψενῆς, καὶ ἡ λαμπρὰ ὁμήγυρις τῶν φιλεόρτων, τιμῶσιν ἐν ὕμνοις καὶ ᾠδαῖς, τὴν πανσεβάσμιον μνήμην τοῦ Μελετίου, τοῦ γνησίου Χριστοῦ θεράποντος. Οὗτος γάρ, ποιμὴν πρότερον ἀλόγων ζώων, ἠξιώθη γενέσθαι ποιμὴν ἀνθρώπων, Χριστιανοὺς χειμαζομένους, ἐπιστηρίζων τῇ πίστει, ὁράματι δ’ εὑράμενος τῆς Θεοτόκου τὴν εἰκόνα, μάνδραν ταύτῃ συνεστήσατο. Ὅ,τι ἐβίωσεν ὡς ἄσαρκος, σάρκα φορῶν καὶ τῷ κόσμῳ οἰκῶν, λιπὼν τὰ τοῦ κόσμου καὶ κοσμήσας ἀρεταῖς τὸν βίον, προκρίνας ἐπιμελῶς, ὑποτᾶξαι τὴν σάρκα τῷ πνεύματι, καὶ δουλαγωγῆσαι αὐτὴν ἐν σκληροτάτῃ ἀσκήσει, τῇ προσευχῇ καὶ νηστείᾳ, φυγαδεύειν τοὺς δαίμονας. Διὸ καὶ ζῶντα ὁ Θεός, ἠξίωσε τῆς χάριτος τοῦ θαυματουργεῖν, ὡς ὑπομείνας καρτερῶς τοὺς πόνους τῆς ἀσκήσεως, καὶ ἀγογγύστως τὸ βάρος τῆς συκοφαντίας, Ὅσιος καὶ Ἱερομάρτυς γενόμενος. Ὅθεν καὶ μετὰ τέλος, ὁ Νυμφίος Χριστός, ἐβράβευσε τοῦτον ἐπαξίως, δυσῖν στεφάνοις, Ἁγίοις συναριθμήσας. Καὶ νῦν τοῖς ἐπουρανίοις

συναυλιζόμενος, ἱκετεύει ὑπὲρ ἡμῶν διηνεκῶς, τὴν πανάγαθον Τριάδα, δωρηθῆναι πᾶσι τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν ἀληθῶς.*

Χαίροις, Λάρδου ὁ θεῖος βλαστός, τῶν ἱερέων τὸ σεμνὸν ἐγκαλλώπισμα, Ὁσίων ἁπάντων κλέος, καὶ μοναστῶν ὁδηγός, τὸ τῆς Ἐκκλησίας ἄστρον πάμφωτον, πιστῶν τὸ ὡράϊσμα, Ὀρθοδόξων ὁ πρόμαχος, καὶ τῶν δαιμόνων, ἐλατὴρ καὶ ἀντίπαλος, ὁ δεόμενος, καὶ Σταυρῷ τειχιζόμενος, στῦλος ὁ ἀπερίτρεπτος, νηστείας ἀκρότατον, τῆς ἐγκρατείας ἐργάτης, πέτρα τῆς πίστεως ἄῤῥηκτος, Μελέτιε Πάτερ, τοὺς πιστῶς σε νῦν τιμῶντας, φρούρει καὶ φύλαττε.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Δεῦτε, τῶν μοναζόντων χοροί, καὶ φιλοθέων φιλεόρτων συστήματα, ὑμνήσωμεν θεαρέστως, Μελέτιον τὸν πιστόν, μελῳδίαις ὕμνοις τε καὶ ᾄσμασι, Χριστῷ ἐκ νεότητος, νουνεχῶς ἠκολούθησε, Σταυρὸν ἐπ᾽ ὤμων, τῇ ἀσκήσει ἀράμενος, καὶ τὸν βιον του, ἀρεταῖς εὐκοσμούμενος, Μάνδρας ὁ κτίτωρ γέγονεν, εἰκόνα εὑράμενος, ὑπὸ τὴν ῥίζαν τοῦ δένδρου, Κόρης Παρθένου ὁράματι, διὸ χαίροις Πάτερ, ἐκβοῶμέν σοι συμφώνως, μνήμην σου σέβοντες.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, τῆς Ὑψενῆς θησαυρός, Μονῆς ὁ κτίτωρ οἰκιστὴς καὶ ἡγούμενος, τιμώσης τῆς Θεοτόκου, τῇ μεταστάσει πιστῶς, τῷ λειψάνῳ Πάτερ σὺν τῇ κάρᾳ σου, Μελέτιε Ὅσιε, τῶν θαυμάτων τὸ πέλαγος, κρουνοῖς χαρίτων, ὧν πλουτίζεις τοὺς σπεύδοντας, κατασπάσασθαι, ποθητῶς καὶ ἐκ πίστεως, κρήνη βρύουσα νάματα, τοὺς νόσους μακρύνουσα, τοῦ Σιλωὰμ κολυμβήθρα, καὶ τῶν πιστῶν ἱλαστήριον, τοῖς μνήμην σου Πάτερ, νῦν χαρμονικῶς τελοῦσι, δίδου τὰ κρείττονα.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῶν μοναστῶν αἱ χορεῖαι, καὶ τῶν φιλεόρτων τὰ συστήματα, τιμῶσί σου σήμερον ᾀσματικῶς, τὴν πανσεβάσμιον μνήμην, Μελέτιε παναοίδιμε. Ὅ,τι εὐηρέστησας Θεόν, τοῖς ἀγαθοῖς σου ἔργοις καὶ διδαχαῖς, τῶν ἀρετῶν σου τῇ γεωργίᾳ, καὶ τοῖς ἀσκητικοῖς σου κατορθώμασι. Διὸ, Ὃν ἐδόξασας ἐπὶ τῆς γῆς, ἀντεδόξασέ σε ἐν οὐρανοῖς, τοῖς τῶν Ὁσίων σκηναῖς συναριθμήσας, μεγαλύνας τοῖς θαύμασι, καὶ καταστήσας σε ἰατῆρα, τῇ τῶν λειψάνων σου μυρεστικῇ εὐωδίᾳ, καὶ τῇ θείᾳ χάριτι. Ἀλλ’ ὦ κλέος Πατέρων μακάριε, μὴ παύσῃ δεόμεθά σου πρεσβεύειν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν

οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸ θεόφυτον δένδρον καρπὸν φέρον τὸν εὔχημον, Λάρδου καὶ Ῥοδίων τὸ κλέος, ἀσκητῶν τὸ ἀγλάϊσμα, Μελέτιον τιμήσωμεν ψαλμοῖς, τὸν κτίτορα Μονῆς τῆς Ὑψενῆς, θείᾳ νεύσει ὑπὸ δένδρον, Κόρης μορφὴν εὑρόντα πίστει κράζοντες· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

*Δόξα.*

Τὸν πυρσὸν εὐσεβείας καὶ Ῥοδίων τὸν κήρυκα, πίστιν τοῦ Χριστοῦ ἐν Ὑστέροις, τοῖς καιροῖς ἐνισχύσαντα, θερμὸν πνευματικὸν ἀφυπνιστήν, κοσμήσαντα τὸν βίον ἀρεταῖς, σὺν παλαίσμασιν ἐνθέοις καὶ ἱεροῖς, ὑμνήσωμεν κραυγάζοντες· Χαίροις τῶν ἀσκητῶν κλέος λαμπρόν, χαίροις τῶν Ὁσίων καύχημα, χαίροις Μελέτιε πιστῶν ὁ πρέσβυς πρὸς τὸν Κύριον.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὑψενῆς τὴν Μονήν Σου σκέπε φρούρει καὶ φύλαττε, Μῆτερ Θεοτόκε Παρθένε, εἰς αἰῶνας ἀσάλευτον, καὶ ῥῦσαι ἀσκουμένας καὶ πιστούς, παθῶν κινδύνων νόσων συμφορῶν, σὺν πρεσβείαις Μελετίου

ὅπως Θεόν, δοξάζωμέν Σοι κράζοντες· Δόξα τοῖς μεγαλείοις Σου ἁγνή, δόξα τῷ θείῳ Τόκῳ Σου, δόξα τῇ ἀκοιμήτῳ δι' ἡμᾶς θερμῇ πρεσβείᾳ Σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὑμνήσωμεν χορός, εὐσεβῶν φιλεόρτων, Μελέτιον ψαλμοῖς, θεοφόρον Πατέρα, Χριστοῦ δοῦλον Ὅσιον, Ὑψενῆς ἀντιλήπτορα, τούτου μέλεσι, τὴν ὑπερθαύμαστον μνήμην, ἐκτελοῦντες νῦν, καὶ ἐκζητοῦντες πρεσβείαις, θερμαῖς πρὸς φιλάνθρωπον.

*Δόξα.*

Ἀσκήσεσι πολλαῖς, καὶ παλαίσμασι θείοις, τῷ ὅπλῳ τοῦ Σταυροῦ, προσευχῇ ἐζωσμένος, καθεῖλες τὸν δράκοντα, καὶ διέλυσας ἔνεδρα, τούτου ἔπαρσιν, ὥσπερ ἀράχνας θεόφρον, ὦ Μελέτιε, σκληρᾷ νηστείᾳ διό σε, πιστῶς μακαρίζομεν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀγγέλων γλυκασμός, καὶ παρθένων ἡ δόξα, πιστῶν ἡ χαρμονή, καὶ ἀντίληψις πάντων, Σὺ εἶ Μητροπάρθενε, Ὑψενῆς μάνδρα ἔφορε, δέξαι δέησιν, τῆς ταπεινῆς μου καρδίας, καὶ μεσίτευσον, Υἱῷ τῷ μονογενῇ Σου, παθῶν μου ῥυσθῆναί με.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἡ μνήμη ἐπέλαμψεν ὥσπερ Ἡλίου ἀκτίς, τῆς δόξης τοῦ νοητοῦ τοῦ Μελετίου πιστοί, διὸ αὐτὸν ᾄσωμεν, ᾄσμασι μελιῤῥύτοις, καὶ ψαλμοῖς ἡδυφθόγγοις, ὅτι ἡμῶν ὑπάρχει, νῦν πρὸς Κύριον πρέσβυς, οἰκῶν ἐν ἐπουρανίοις, δόξης σκηνώμασι.

*Δόξα.*

Τοῖς ἐπιζητοῦσί σου Πάτερ ἐν χρόνοις δεινοῖς, τῇ πίστει στηρίξασθαι καὶ ἀρωγὸς ταχυνός, ἐλθεῖν κρίσιν ἔδιδες, ὅθεν ἡμῶν ἐν κρίσει, τῇ μελλούσῃ τρισμάκαρ, πάρεσο μνημονεύειν, τῷ Σωτῆρι τῶν ὅλων, τοῦ δοῦναι ἡμῖν ἱλασμόν, ταῖς ἱκεσίαις σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν μόνην ἀκήρατον καὶ Θεοτόκον ἁγνήν, Μητέρα πανάχραντον τοῦ Ποιητοῦ καὶ Θεοῦ, ἀξίως ὑμνήσωμεν, ὕμνοις θεοτερπέσι, καὶ ᾠδαῖς γλυκυτάτοις, χαῖρε ταύτῃ βοῶντες· ἀειπάρθενε Κόρη, χαῖρε ἡ σωτηρία, τοῦ βροτείου φυράματος.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ἀνυμνήσωμεν πιστοί, Λάρδου θεόφυτον βλαστόν, Μελέτιον τὸν θαυμαστόν, ψαλμοῖς καὶ μέλεσι τερπνοῖς, Ὁσίων κλέος ἀσκητικοῖς λάμψαντα ἔργοις, χαίροις ἐκβοῶντες, δόξα Ῥοδίων λαμπρά, τῆς σωφροσύνης στῦλος, θεοειδέστατος, πίστεως ὁ φάρος

Ἕλλκησιν, ἐν ἔτεσι, τῆς δουλείας ἐξ Ἄγαρ, ὁ τὴν εἰκόνα, εὑρὼν Παρθένου, ὑπὸ φυτὸν τῇ θείᾳ νεύσει.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε ῥάβδος Ἰεσσαί, ἡ ἐκβλαστήσασα ἁγνή, χαῖρε ἡ κλίμαξ Ἰακώβ, δι᾿ ἧς κατέβη ὁ Θεός, ἐνανθρωπήσας ἵνα βροτοὺς ἑλκύσῃ ἄνω, χαῖρε πύλη, στάμνε τοῦ μάννα, πόκε σκηνή, τοῦ Δανιὴλ τὸ ὄρος, τὸ ἀλατόμητον, βᾶτε Μωϋσέως ἄφλεκτε, νεφέλη πλάξ, τὸ ἀμάραντον ῥόδον, καὶ Σολομῶντος ἡ θεία κλίνη, ἣν δυνατοὶ περικυκλοῦσι.

Εἶτα, οἱ ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σου Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Πάτερ, εἰς πᾶσαν ἀληθῶς τὴν γῆν, ἐξέλαμψεν ὁ φθόγγος τῶν ἄθλων σου. Διὸ καὶ ἐν οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, τοῦ μώμου ἐλευθερούμενος, τῇ θεϊκῇ ἐπινεύσει. Παῤῥησία οὖν ἔχων πολλήν, πρὸς τὸν Σωτῆρα Μελέτιε, καθικέτευε

Χριστόν, δεόμεθά Σου ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς τῶν τιμώντων σε.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ὁσίου β΄. Ὁ α΄ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: *Αἰνῶν τῷ Θεῷ, ἀνυμνῶ Μελέτιον ἀξιοχρέως.*

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Αἰνέσαι τὴν δόξαν Σου, Τριὰς ὁ τάλας πειράσομαι, διὸ χείλη ἄνοιξον, καὶ φώτισόν μου τὸν νοῦν, ὅπως Ὅσιον, Μελέτιον ἀξίως, τῆς Λάρδου ἐκβλάστημα, μέλψω τοῖς ᾄσμασιν.

Ἱδρῶσι καμάτοις σου, ῥοαῖς δακρύων ἐπότισας, καὶ γῆν ἐγεώργησας, Δωδεκανήσων πιστῶς, ὦ Μελέτιε, καὶ ἀρετῶν τὸν πλοῦτον, ἐδρέψω μακάριε, τῶν θείων ἄθλων σου.

Νεκρώσας παχύτητα, σαρκὸς ἀσκήσει ἐμάρανας, ψυχὴν ἀπεκάθηρας, θανατηφόρων παθῶν, καὶ διήνοιξας, σῆς διανοίας ὦτα, καὶ ὄμματα Ὅσιε, πρὸς γνῶσιν ἔνθεον.

*Θεοτοκίον.*

Ὢ Κόρη ἐκύησας, τῇ Σῇ νηδύϊ σαρκούμενον, Πατρὸς Λόγον ἄχρονον, τὸν ἀπερίγραπτον, καὶ διέμεινας, Παρθένος μετὰ τόκον, ὡς πρὶν οὖσα πάναγνε, φρικτὸν μυστήριον.

Ὁ β΄ Κανών, οὗ ἡ ἀκροστιχίς: *Τῷ θεόφρονι Μελετίῳ, ᾆσμα ἡδύ. Γεωργίου.*

*ᾨδὴ α΄. Ἦχος α΄. ᾨδὴν ἐπινίκιον.*

Τρωθεὶς θείῳ ἔρωτι τοῦ σοῦ Νυμφίου, βλαστὲ τῆς Ῥοδίων γῆς, μάκαρ Μελέτιε, ἐγένου χωρητικόν, τῆς χάριτος τῶν ἀρετῶν, σκεῦος τοῦ Πνεύματος.

ᾨδὴν θεοΰφαντον πλέξωμεν ὕμνοις, φιλέορτοι σήμερον, τῷ Πατρὶ ᾄδοντες, καὶ μνήμην τὴν ἱεράν, τιμήσωμεν περιχαρῶς, τοῦτον μιμούμενοι.

Θαυμάτων κατέπληξας τὴν οἰκουμένην, σατᾶν δ' ἐτραυμάτισας, ἀσκητὰ ἔνδοξε, νηστείᾳ καὶ προσευχῇ, ἱλέωσας τὸν Ἰησοῦν, τὸν πολυεύπσλαγχνον.

*Θεοτοκίον.*

Ἐνθέοις μελίσμασι τὴν Θεοτόκον, πιστοὶ ἀνυμνήσωμεν, ἐκ ψυχῆς κράζοντες· δυσώπησον Σῷ Υἱῷ, ὅπως ῥυσθῶμεν τοῦ πυρός, τοῦ αἰωνίζοντος.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Νικήσας δαιμόνων παρατάξεις, δεήσει ἀπαύστῳ τῷ Θεῷ, νηστείᾳ ἀκροτάτῃ τε, ἐν τῷ σπηλαίῳ Ὅσιε, οἰκῶν ὡς πένης ἄοικος, θείων θαυμάτων ἠξίωσαι.

Τὰ πάντα κατέλιπες ὦ Πάτερ, εἰκόνα ὡς εὗρες τῆς ἁγνῆς, ὁράματι Μελέτιε, καιροῖς ἐχούσης ἄδηλον, πληρῶν σὸν πόθον ἅγιον, τάχυ ναὸν ᾠκοδόμησας.

Ὡράθης ἰθύνων κλονουμένους, πρὸς Φῶς ἀληθείας τοῦ Θεοῦ, διὸ λαοῖς ἐδίδαξας, καλῶς πίστιν ὀρθόδοξον, καὶ πρὸς ζωὴν τὴν ἄληκτον, εὗρες ὦ Πάτερ ἀπόλαυσιν.

*Θεοτοκίον.*

Θεοῦ τὴν Μητέρα ἀνυμνοῦμεν, Ἀδάμ τε καὶ Εὔας τὴν ἀράν, λυτρώσασαν τῷ Τόκῳ της, τῶν γηγενῶν τὸ ἄθροισμα, ἐν μελιῤῥύτοις ᾄσμασι, τῶν μοναστῶν τὰ συστήματα.

*Ἕτερος. Στερεωθήτω ἡ καρδία μου.*

Οὐρανομήκην κατεβρόντησας φωνὴν θεοῤῥῆμον, Μονὴ Ὑψενῆς, ἐπιστηρίζων τοὺς πιστούς, ἐν δουλείᾳ τοῖς ἔτεσιν, καὶ δογμάτων τὴν ἀκρίβειαν, σαφῶς διηρμήνευσας.

Φιλαμαρτήμων οὐκ ὢν Κύριε, Σὺ ἐλέησόν με, ἐβόας, οἰκῶν ἐν τῷ σπηλαίῳ νουνεχῶς, πυρπολούμενος ἔρωτι, ταπεινούμενος ὡς ἔσχατος, διὸ Θεός σε ὕψωσεν.

Ῥητόρων γλῶσσαι αἱ πολύφθογγοι, οὐκ ἰσχύουσί σε, οὐδὲν ἀντειπεῖν, ὦ θεοδίδκατε κρουνέ, ἀποῤῥήτων Μελέτιε, ὅ,τι πάντων σὺ ὑπέρκεισαι, σοφίας πληρούμενος.

*Θεοτοκίον.*

Ὅπως ὑμνήσω Σε πανύμνητε, ῥῦσαί με ἐκ πάσης κατακρίσεως, ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ, καὶ φλογὸς τῆς κολάσεως, μητρικαῖς Σου παρακλήσεσιν, Υἱῷ πανοικτίρμονι.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.*

Τῆς Ὑψενῆς ἡ Μονή ἀγαλλιάσθω, καὶ ἑορτὴν ἐπιτελείσθω χαρμοσύνως, ὡς θησαύρισμα θεῖον

ἔχουσα εἰκόνα, Παρθένου τῆς Θεοτόκου τὴν θαυμαστήν, ἣν εὗρεν αὐτῆς τῇ νεύσει ὑπὸ φυτόν, ὁ ποιμαίνων τὰ πρόβατα, Μελέτιος ὁ πιστός, καὶ κτίτωρ μάνδρας γέγονεν, ὁδηγὸς θεοφώτιστος.

*Δόξα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Τῶν Ῥοδίων τὸν πυρσόν, χριστιανῶν τὸν ὁδηγόν, ὑμνολογήσωμεν πιστοί, ἀστέρα τε τὸν φαεινόν, καὶ ποδηγέτην τῶν μοναστῶν, τρανῶς βοῶντες· χαίροις θεῖε Πάτερ, Λάρδου βλαστὲ εὐκλεῆ, τῶν ἀρετῶν τὸ σκεῦος, τὸ καθαροτατον, τὸν καιροῖς δουλείας λέξαντα, τοῖς Ἕλλησι τὸ φρονεῖν ὀρθοδόξως, ἄριστον πάντων ἐστὶ τῶν ἔργων, τῷ δὲ Θεῷ πανευπροσδέκτῳ.

*Καὶ νῦν. Θεοτοκίον.*

Μεγαλύνωμεν πιστοί, τὴν Θεοτόκον ἐν ψαλμοῖς, καὶ μελῳδήμασι τερπνοῖς, χαῖρε ἡ κατ’ ἀνατολάς, πύλη Κυρίου δαβιτικῶς ἡ κεκλεισμένη, βόησον ψυχή μου, τῆς Μαριὰμ τὴν ᾠδήν, ἰδοὺ ἐπιθυμήσει, Σὲ ἀειπάρθενε, κάλλους Σου ὁ Βασιλεὺς ἁγνή, καὶ τέξει Σύ, τὸν Σωτῆρα τοῦ κόσμου, τὸν σταυρωθέντα, ἵνα λύτρωσῃ, τοὺς γηγενεῖς ἀρᾶς ἀρχαίας.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Ἐποχούμενον ὁρῶμεν σὲ τῷ πόλῳ ἀστράπτοντα, νοητοῦ Ἡλίου, δόξης φέγγος ἄδυτον Ὅσιε, ὡς ἀμοιβὴν τῶν καμάτων ἐκδεχόμενον, καὶ κραυγάζοντα· δόξα Χριστὲ τῇ δυνάμει Σου.

Ὡς Σιλωὰμ κολυμβήθρα δαψιλῶς τοῖς προστρέχουσι, θαύματα παρέχεις, νόσων ἰατρείαν

ἀδάπανον, ὦ ἱερώτατε Πάτερ, καὶ πρεσβείαις σου, πολυεύπσλαχνον, ἐκδυσωπεῖς ὑπὲρ ποίμνης σου.

Ἀνυμνοῦντές σου τὰ ἆθλα, καὶ τοὺς πόνους ἀοίδιμε, δρόσον οὐρανόθεν, ταῖς σαῖς ἱκεσίαις λαμβάνομεν, διὸ γηθόμενοι πάντες, ἐκβοῶμέν σοι· χαῖρε Ῥοδίων τὸ σέμνωμα.

*Θεοτοκίον.*

Νομοθέτην νόμον δόντα ἐν Σιναίῳ ἐκύησας, ἄχραντε Παρθένε, ὅθεον τοῦτον νῦν ἐκδυσώπησον, δοῦναι ἡμῖν σωτηρίας, τὴν ἀπόφασιν, ὅτ’ ἐλεύσεται, κρίναι βροτοὺς οὕσπερ ἔπλασεν.

*Ἕτερος. Ἐν πνεύματι προβλέπων.*

Ναὸς ἡγιασμένος ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος Μελέτιε ποιμήν, Αὐτὸν ἀεὶ ἐκδυσώπει ἀποκαθάραι, ἀμπλακημάτων πτερνιστοῦ, ἵνα βοῶμεν· δεῖξον καὶ ἡμᾶς Οἶκον Πνεύματος.

Ἰάσεις νοσημάτων σωμάτων καὶ ψυχῶν, σοῦ λειψάνου χάρις Πάτερ βλύζει θαυμαστῶς, ὅ,τι ἱδρῶσι καὶ πόνοις σκληροῖς τῷ βίῳ, τὸν σὸν Νυμφίον ἱερῶς εὐηρέστησας, στέφος θείας δόξης δ’ ἀπείληφας.

Μεγίστοις θαυμασίοις ἐτέλεις ἱερῶς, ὅτε ἔζης Πνεύματος πληρούμενος σοφέ, τοῦ παγκακίστου τὰ ἔνεδρα ἀπεκρούσω, πρὸς θείαν γνῶσιν νουνεχῶς λόγοις κηρύττων, πλῆθος ὀρθοδόξων ἐφώτισας.

*Θεοτοκίον.*

Ἐξόχως θεία κλίνη, προεῖδε Σολομῶν, δυνατῶν κυκλοῦσάν Σε, πανάμωμε ἁγνή, ὁ Ἡσαΐας ὡς πύλην

Σε κεκλεισμένην, ἐν ᾗ ἀφθόρως Ἰησοῦς γαστρὶ εἰσέλθῃ, οὕτω δὲ Λόγος ἐξελεύσεται.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ὑψώθης Μελέτιε, ἐπουρανίοις δώμασι, ὅ,τι ὡς ἰσάγγελος διῆλθες, βίον σπηλαίῳ, ἐν ἐγκρατείᾳ σκληρᾷ, καὶ πάσας Χριστοῦ τὰς ἀρετάς, πόνοις σοῖς ἀσκήσεως, γεωργήσας πανάριστα.

Μονὴν θείαν ἔπηξας, τῆς Ὑψενῆς Μελέτιε, Παρθένου τιθέμενος εἰκόνα, ποίμνην τῶν ζώων, καταλιπῶν παρευθείς, ποίμνης κατηξίωσε Χριστός, ὅσιον διδάσκαλον, σὲ γενέσθαι θεόπνευστε.

Νεκρώσας σκιρτήματα, σαρκὸς ἔξω γεγένησαι, Ὅσιε σκληρᾷ δουλαγωγίᾳ, θείαν ψυχήν σου, ἔσχες εἰς πόθον Χριστοῦ, ἁπάσας δ᾽ εἰργάσω ἀρετάς, ὅθεν μεταβέβηκας, πρὸς οὐράνια δώματα.

*Θεοτοκίον.*

Ὡς βᾶτον τὴν ἄφλεκτον, ἁγνὴ Μωσῆς κατεῖδέ Σε, πάλαι ἐν Σιναίῳ, μὴ φλεχθεῖσαν, Τόκον δηλοῦσαν, τὸν χωρητὸν Σῇ γαστρί, καὶ πᾶσιν ἀχώρητον Θεόν, ὅνπερ σωματώσασα, παρθενίαν ἐφύλαξας.

*Ἕτερος. Τὴν Σὴν εἰρήνην.*

Λιπὼν προβάτων τὴν βοσκήν, ποιμὴν ἱερός, ζώων τῶν λογικῶν, γέγονας Μελέτιε, ἐπιστήριζων ποίμνην βρότειον, ἣν εἰς οὐρανίους, ἤγαγες νομὰς θείας.

Ἐπὶ τὴν πέτραν, ἣν Χριστὸς κελεύει ναόν, ἔπηξας ἱερόν, Μελέτιε πίστεως, σοφίας ἄνω, νῷ πληρούμενος, παῖς ὢν γραφὴν θείαν, οὐ κοσμικὴν μανθάνεις.

Τίς ἐπαξίως ἀρετάς, πτωχείαν πολλήν, ἄσκησίν σου σκληράν, ἐργασίαν ἄπαυστον, ἐκδιηγήσειε Μελέτιε, ἀλλὰ καὶ σημείων, ξένων φρικτῶν τὸ μέτρον;

*Θεοτοκίον.*

Ἴασιν δώρησαι ἁγνή, δεινῶν συμφορῶν, βέλεσι γὰρ σατᾶν πυρφόροις, κατέτρωσι τοῖς πάθεσί με χειμαζόμενον, ὅ,τι Θεὸς σάρκα, ἐκ Σοῦ λαβὼν ἐτέχθη.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Μηδείς, ἀξίως ἰσχύσειε, τὰ σὰ ἐξιστορεῖν ἀξιάγαστε, θεῖα παλαίσματα, ὅ,τι δαιμόνων τὰς φάλαγγας, καταδίωκων πόῤῥῳ, Χριστῷ ἀνέδραμες.

Ἐν χρόνοις πλείστοις Μελέτιε, Ἑλλάδος χαλεπῶς τὸν ὑπόδουλον, λαὸν ἐστήριξας, πατρῷα πίστει ἐμμένοντα, καὶ γῆν τῆς Ῥόδου Πάτερ, σημείων ἔπλησας.

Λιμοῦ, βροτοὺς Σὺ διέσωσας, ἐκτρέφων τοὺς πεινῶντας Μελέτιε, καὶ νόσους ἤλασας, ὅθεν ψυχὰς τῶν τιμώντων σου, πάνσεπτον μνήμην δίδου, νῦν ἀγαλλίασιν.

*Θεοτοκίον.*

Ἑκών, θαλάσσῃ βυθίζομαι, ῥοπὴ τῆς ἁμαρτίας πρὸς ὄλισθον, διὸ διόρθωσιν, τρίβους πρὸς ἄνω ἰθύνουσα, Χριστοῦ τῆς Βασιλείας, δίδου μοι Δέσποινα.

*Ἕτερος. Τὸν Προφήτην Ἰωνᾶν.*

Ὡραιότητος Χριστοῦ, τοῦ ὡραίου κάλλει σύ, ἐπληρώθης νοερῶς, προσευχῇ διηνεκῶς, δεόμενος, καὶ ἐγκρατείᾳ Πνεύματος χάριτι.

Ἀγρυπνίαις ἐκτενῶς, ἱκετεύων Λυτρωτῇ, Ὑψενῆς θείας Μονῆς, κτίτωρ σὺ κατασταθείς, ἐδίδαξας, πληθὺν μοναστῶν, Πάτερ θεόσοφε.

Σωτηρίαν ἐκζητῶν, τὰ ἡδέα νουνεχῶς, καταλέλοιπας Σταυρῷ, τειχιζόμενος Χριστοῦ, καὶ ἔδραμες, μονήρην βίον, Πάτερ ἑλόμενος.

*Θεοτοκίον.*

Μολυνθέντα με αἰσχραῖς, ἁμαρτίαις τὴν ψυχήν, ἱκετεύω Σε θερμῶς, νῦν ἀπόπλυνον ἁγνή, καὶ κάθαρον, παντοίου ῥύπου, Χριστῷ πρεσβεύουσα.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Τοῦ Ὁσίου μέλεσιν, ἀνευφημήσωμεν θείοις, ψαλμικῶς φιλέορτοι, μνήμην αὐτοῦ ἐκτελοῦντες, πάνδημον, τοῦ Μελετίου βλαστοῦ τῆς Λάρδου, κτίτορος, τῆς σεβασμίας Μονῆς ἐν Ῥόδῳ, Ὑψενῆς τῆς Θεοτόκου, οὗ ταῖς πρεσβείαις, αἰτούμεθα πρὸς Χριστόν.

*Ὁ Οἶκος.*

Μνήμην σεβάσμιον τελέσωμεν πιστοί, Ὁσίου τοῦ Θεοῦ, καὶ μακαρίου ἀσκητοῦ, Μελετίου τοῦ θεοφόρου Πατρός, ἔνδον σπηλαίου βιωσαμένου, ὡς ἀδάματος ὑπομονῆς καὶ καρτερίας, τῆς Λάρδου βλαστοῦ, καὶ

τὴν ὑπὸ δουλείαν κατεχομένην Ἑλληνικὴν γῆν τῆς νήσου Ῥόδου, πυρσεύσαντος θεηγόροις κηρύγμασι, καὶ ἐπιστηρίξαντος τοὺς χριστιανοὺς ἐν τῇ πίστει· ὅθεν τούτου ἐκμιμησώμεθα, τοὺς μεγίστους ἄθλους, τὸ ἐνάρετον πολίτευμα, τὸν ζῆλον, τὴν πίστιν, τὴν προσευχήν, καὶ πάσας τὰς θεοειδεῖς ἀρετάς, ἐξαιρέτως δὲ τὴν ἐγκράτειαν, ταπείνωσιν καὶ σωφροσύνην, ὅπως σωθῆμεν, καὶ εἰς οὐρανοὺς ἀπαντήσωμεν αὐτόν, χαίροντες τῷ πνεύματι, οὗ ταῖς πρεσβείαις, αἰτούμεθα πρὸς Χριστόν.

*Συναξάριον.*

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μελετίου τοῦ ἐκ Λάρδου, κτίτορος τοῦ Ἱερᾶς Μονῆς Ὑψενῆς.

*Μονὴν ἐγείρας τῇ Παρθένῳ Μαρία,*
*Μονὰς κατοικεῖς εὐκλεῶς τῶν Ἀγγέλων.*
*Δευτερίῃ δεκάτῃ Μελέτιος τιμάσθω ἀγλαῶς.*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

απεινώσεως δοχεῖον καθαρότατον ἐγένου Ὅσιε, ἀλλὰ καὶ νοῦν πρὸς Θεόν, ἐν βίῳ Μελέτιε ἔσχες καμάτοις σου, καὶ ἀπέκτησας, τὴν Βασιλείαν οὐρανῶν, καὶ Θεοῦ κληρονομίαν.

Ἱλαρότητος φωτὶ Χριστοῦ Μελέτιε πολιτευσάμενος, ἐξένισας γηγενεῖς, ἀγάπην δεικνύμενος, δικαιοσύνην τε, μιμησάμενος, τὸν σὸν Νυμφίον ἔνδοξε, μεθ’ οὗ νῦν συμβασιλεύεις.

Ὄμβρους δέδωκας γῇ ὡς Ἠλίας Ὅσιε, εὐχῇ νηστείᾳ τε, ἐξιλεῶν τὸν Χριστόν, τοῦ φείασθαι πλᾶσμά του, χείρας ἐκτίναντα, ἀνυψούμενον, ἐν τῷ Σταυρ ῷ ὑπὸ βορτῶν, ἑκουσίᾳ Του βουλήσει.

*Θεοτοκίον.*

Νεκρωθεῖσάν μου καρδίαν αὖθις ζώωσον, Σῇ θείᾳ χάριτι, καὶ πρὸς Υἱὸν καὶ Θεόν, Παρθένε πρεσβείᾳ Σου, σῶσον ὡς σώτειρα, οὖσα ἄσπιλε, ἡ σωτηρία τῶν βροτῶν, γλυκασμὸς τῶν Ἀρχαγγέλων.

*Ἕτερος. Τοὺς ἐν καμίνῳ Παίδας Σου Σωτήρ.*

Ἀγαλλιάσει Πάτερ θεϊκῆς, καὶ Πνεύματι πιστῶς ἐμφορούμενος βοᾷς· μύρων ὀσμῆς σου ὀπίσω ἔδραμον, ἔρωτι Χριστοῦ πυρούμενος, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡδυπαθείαις μάκαρ σὴν ψυχήν, οὐδ' ἔβλαψας, αὐτὴν καθηράμενος εὐχῇ, ἔνθεον νοῦν, ἔχων Θεῷ ἔμελπες, ἔργοις τῆς ἀγάπης, πράξεσι διδασκαλίαις ὀρθαῖς, Χριστοῦ φωτίζων φωτί.

Διὰ πυρὸς διῆλθες πειρασμούς, τῷ ὅπλῳ τοῦ Σταυροῦ τειχιζόμενος σοφέ, μῆνιν σοφδρὰν κατηγόρων ἤλεγξας, καὶ συκοφαντίαν ἤλασας, ἐλευθερῶν σὴν ψυχήν, ἐξ ὀλεθρίων παθῶν.

*Θεοτοίον.*

Ὑπὸ τὴν σκέπην τρέχομεν τὴν Σήν, οἱ δοῦλοί Σου ἁγνὴ ἐκζητοῦντες ἀρωγήν, φρούρει πιστούς, καὶ ποίμνην συντήρησον, οὖσαν ἐν τῇ Ῥόδῳ ἄτρωτον, τὴν ἀνυμνοῦσαν ἀεί, Σὲ θεοφθόγγοις ᾠδαῖς.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Αἶνον τῇ Τριάδι ὑπερμέτρως, ἐδίδως καὶ πόθῳ ἔκραζες Μελέτει, ὁ Ὢν ἐστὶ ὑμνούμενος, κἀγὼ νῦν ταπεινούμενος, διὸ καὶ μετὰ τέλος σου, βραβεύσας ὕψωσεν, εἰς ἄφθαρτα, σκηνώματα δόξης, καὶ ἐν τοῖς Ἁγίοις, κατέταξεν ἐνδόξως.

Ξένα τὰ ἐν σοὶ Πάτερ ὁρῶμεν, σημεῖά τε καὶ παράδοξα τελούμενα, ὡς ἱερομόναχος, καὶ Χριστῷ συνόμιλος, τῇ πρὸς Θεὸν δεήσει σου, ἀπαύστως Ὅσιε, Μελέτιε, διὸ θείοις ὕμνοις, σοῦ τὴν φωτοφόρον, πανήγυριν τελοῦμεν.

Ἱερουσαλὴμ οἰκεῖς νῦν ἄνω Μελέτιε, μετ᾽ Ἀγγέλων καὶ Ἁγίων τε, ὁ γῇ Σῶμα τίμιον, Αἷμα τὸ ζωήῤῥυτον, πιστοῖς ἐδίδως Ὅσιε, τοῦ μεταλήψασθαι, τελῶν τὴν λειτουργίαν Κυρίου, καὶ Θεοῦ τῇ θέᾳ, ἀξίως ἀπολαύεις.

*Θεοτοκίον.*

Ὄρος τὸ κατάσκιον καὶ πῖον Παρθένε, Σὲ οἱ Προφῆται προκατήγγειλαν, πύλην ἐπουράνιον, βᾶτον ἀκατάφλεκτον, ναὸν σκηνὴν καὶ τράπεζαν, πόκον τὸν ἔνδροσον, καὶ κλίμακα τοῦ Ἰακὼβ, θρόνον, κἀμεῖς δὲ Μητέρα, Θεοῦ ὁμολογοῦμεν.

*Ἕτερος. Ὃν φρίττουσιν Ἄγγελοι.*

Γλῶσσα σὴ ὡς κάλαμος, ὀξύγραφος πιστοῖς, ἐδείχθη Μελέτιε, δογμάτων ἱερῶν, ψαλμῶν μελιῤῥύτων, ἱκεσίαις θερμῆς, ὧν δοξολογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐν πόνοις πανεύφημε, δακρύων τε ῥοαῖς, τῷ Πλάστῃ προσήνεγκας, καρποὺς πνευματικούς, ἐνάρετον βίον, ὡς ἀδάμας στεῤῥός, κατὰ τῶν δαιμόνων, ἀθλήσας θεαρέστως.

Ὢ θρήνων ἀκούσματα, καρδίας στεναγμοὶ κραυγὴ ταπεινώσεως, ἡμάρτηκα Θεέ, ἐλέησον Σῶτερ, ἐβόας τῇ φωνῇ, γοερῶς θεόφρον, τῇ προσευχῇ σχολάζων.

*Θεοτοκίον.*

Ῥωννύμεθα Δέσποινα, δυνάμει κραταιᾷ, τῇ Σῇ ἀνακράζοντες, ἡ ῥίζα Ἰεσσαί, βλαστήσασα Λόγον, Σὺ ὑπάρχεις ἁγνή, ἡ καθαρωτέρα, ἡλιακῶν ἀκτίνων.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

*Μεγαλυνάρια. Ἦχος δ΄. Ἄγγελοι, τὴν κοίμησιν τῆς Παρθένου.*

*Ἄγγελοι, ὑμνήσατε χαρμοσύνως, Κυρίου τὸν ὑπέρλαμπρον, θεῖον φωστῆρα ἐν ὕμνοις, Ἐκκλησίας τὸν ποιμένα.*

*Ἄγγελοι, σκιρτήσατε σὺν Ἁγίοις, καὶ ἄνθρωποι χορεύσατε, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ, ἑορτῆς τοῦ Μελετίου.*

Χαίρει οὐρανός, καὶ γῆ συνευφραίνεται, πανηγυρίζουσα, ἐν τῇ φωτοφόρῳ σου, καὶ θείᾳ μνήμῃ, μάκαρ Μελέτιε, διὸ τοὺς ἀνυ,νοῦντάς σε, πίστει καὶ πόθῳ τε, κριτηρίου, βήματι μνημόνευσον, ἐν ἡμέρᾳ τῆς δίκης, τοῦ σώσασθαι.

*Ἄνθρωποι, θεόφρονες γηθοσύνως, ναοῖς Κυρίου ᾄσατε, τοῦ Μελετίου τὴν μνήμην, μελῳδήμασιν ἐνθέοις.*

Ῥῦσαι πειρασμῶν, τὴν ποίμνην σου Ὅσιε, σοφὲ Μελέτιε, φυλάττων ταύτην ἀεί, ἐκ πάσης βλάβης, ἐχθρῶν ἁλώσεως, καὶ τοὺς πιστῶς τιμῶντάς σε, παράσχου ἄφεσιν, τῶν πταισμάτων, πρὸς Χριστὸν πρεσβείαις σου, καὶ κολάσεως πάντας ἐκλύτρωσαι.

*Ἅπασα, ἡ νῆσος Ῥόδος σκιρτάτω, Μονὴ Ὑψενῆς χόρευε, κάραν καὶ λείψανα θεῖα, Μελετίου νῦν τιμῶσαι.*

Ἔχει οὐρανός, τὸ πνεῦμά σου Ὅσιε, συναυλιζόμενον, Ἀγγέλοις Ἁγίοις τε, τὸ ἱκετεῦον, Θεὸν παντάνακτα, ὡς σὲ ὑμνοῦντας ῥύσηται, ἐκ περιστάσεων, ἀκωλύτως στάδιον δ᾽ ἀνύσασθε, ἀρετῶν ἵνα λάβωσιν ἔλεος.

*Σπεύσατε, φιλέορτοι θείᾳ μάνδρᾳ, Παρθένου ἀγαλλόμενοι, καὶ κατασπάσασθε πίστει, Θεοτόκου τὴν εἰκόνα.*

Ὤφθης μοναστῶν, ἀκρότης Μελέτιε, ἀπαρασάλευτος, ταῖς τοῦ σατᾶν ἀπειλαῖς, νηστείας στῦλος, πίστεως ἔρεισμα, τῆς προσευχῆς τὸ εὔτονον, καὶ ἀρετῆς κανών, τοῖς βοῶσι· χαίροις πανσεβάσμιε, τῶν Πατέρων τὸ θεῖον ὑπόδειγμα.

*Θεοτοκίον.*

*Μέλψατε, χορεῖαι μετ᾽ Ἀσωμάτων, τὴν μόνην Θεομήτορα, ὅ,τι πρεσβεύει σωθῆναι, ἡμᾶς Χριστῷ, σὺν Μελετίῳ.*

Σῶσον Μαριάμ, Πατέρας θεόφρονας, Μητέρας μάνδρας Σου, οἰκοῦντας γῆν Ὑψενῆς, Δωδεκανήσου πιστῶν τὸ ἄθροισμα, καὶ Ὀρθοδόξους ἅπαντας, τήρει

ἀπήμονας, τοὺς βοῶντας· χαῖρε Βᾶτε ἄφλεκτε, ἡ κυήσασα Λόγον προάναρχον.

*Ἕτερος. Τὴν φωτοφόρον νεφέλην.*

*Μεγαλυνάρια. Ἦχος α΄. Μεγάλυνον ψυχή μου.*

*Μεγάλυνον ψυχή μου, τὸν λάτριν τῆς Τριάδος, Ὀρθοδοξίας κλέος, Μελέτιον τὸν θεῖον.*

*Μεγάλυνον ψυχή μου, τὸ θειον ἄνθος Λάρδου, φωστῆρα Ἐκκλησίας, καὶ μοναζόντων δόξα.*

Γραμμάτων οὐ μεμάθηκας, ἀλλὰ δογμάτων τρισμάκαρ, ὧνπερ ὠφέλισας πιστούς, ἐπισταμένως οἶδας, Μελέτιε θαυματουργέ, Μονῆς Ὑψενῆς φρουρὲ ἀκοίμητε, διὸ σὲ ἀνυμνοῦμεν, κεκτημένοι πρὸς Θεόν, πρέσβυν θερμόν.

*Μεγάλυνον ψυχή μου, τὸν ἄριστον ποιμένα, τῶν λογικῶν προβάτων, Χριστοῦ τῆς θείας ποίμνης.*

*Μεγάλυνον ψυχή μου, τῆς Ὑψενῆς τῇ μάνδρᾳ, κτίσαντα ὅτε εὗρεν, εἰκόνα τῆς Παρθένου.*

Ἴσθι προστάτης τῶν πίστει, ἑορταζόντων σὴν μνήμην, Μελέτιε σὺν τοῖς χοροῖς, Ἀγγέλων καὶ Ἁγίων, καὶ ἐν τῷ βήματι Κριτήν, ἱλέωσαι Ὅσιε τὸν εὔσπλαγχνον, παῤῥησίαν ὡς ἔχων, πρὸς Νυμφίον σου, τῷ ἔρωτι τρωθείς.

*Μεγάλυνον ψυχή μου, τὸν πάμφωτον ἀστέρα, τοῦ νοητοῦ Ἡλίου, καὶ σέμνωμα Ῥοδίων.*

*Μεγάλυνον ψυχή μου, τοῦ Πνεύματος δοχεῖον, Μελέτιον τὸν νέον, Ἅγιον Ἐκκλησίας.*

Ὁ ἔτεσι τῆς δουλείας, ἐπιστηρίξας τοὺς πιστούς, χειμαζομένους χαλεπῶς, ὀρθῇ διδασκαλίᾳ, καὶ Ὑψενῆς Μονῇ οἰκών, τῇ χάριτι Πάτερ τῶν λειψάνων σου, ἵνα γνῶμεν τὸ ὕψος, θείας ἀγάπης ἐλθέ, νῦν μεθ᾽ ἡμῶν.

*Θεοτοκίον.*

*Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας, Θεοῦ ἁγνὴν Μητέρα.*

Ὑψηλοτέρα ὑπάρχεις, τῶν οὐρανῶν Θεοτόκε, τιμιωτέρα Χερουβείμ, νόων ἐνδοξοτέρα, ὅθεν χαρίτωσον σεμνή, τὸν πλέξαντα σοὶ ᾠδὴν ἡδ᾽φθογγον, σὺν λιταῖς Μελετίου, καὶ ἀπήμονας συντήρει τοὺς πιστούς.

*Ἐξαποστειλάριον. Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τοῦ Μελετίου μνήμη, ἐξέλαμψεν ἡ θαυμαστή, δεῦτε πιστοὶ συνελθόντες, ᾄσωμεν ᾄσμασι τερπνοῖς, τὰς ἀρετὰς καὶ τὰ ἆθλα, γεραίροντες τοῦ Ὁσίου.

*Ἕτερον.*

Ἐν προσευχαῖς ἀγρυπνίαις, νηστείαις καὶ ὑπακοῇ, ἐν σκληροτάτῃ ἀσκήσει, μάκαρ ἱλέωσας Θεόν, Ὃν ἐκτενῶς ἐκδυσώπει, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

*Θεοτοκίον.*

Εἶδε Μωσῆς ἐν Σιναίῳ, βᾶτον Σὲ ἄφλεκτον ἁγνή, θαῦμα θαυμάτων δηλοῦσα, τὸ ἀειπάρθενον ἐν Σοί, ὡς πρὸ τοῦ Τόκου Παρθένος, ἐν τούτῳ μείνασα αὖθις.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε πιστοὶ συνελθόντες πανηγυρίσωμεν, Μελέτιον ὑμνοῦντες, τὸν ἐκλάμψαντα πίστει, οἰκήσαντα σπηλαίῳ καὶ Ὑψενῆς, τῇ Μονῇ συστησάμενον, ὅτε ἀνεῦρεν εἰκόνα Κόρης ἁγνής, θείᾳ νεύσει Λάρδου βλάστημα.

Τῆς Ὑψενῆς τὸν οἰκήτορα εὐφημήσωμεν, Μελέτιον τὸν θεῖον, μετελθόντα τὸν βίον, ἀγάπῃ ταπεινώσει ὑπακοῇ, ἀρεταῖς ἐργασάμενον, ἐν ὁσιότητι λάμψαντα καὶ ψυχάς, τῶν πιστῶν εὐκάρπους τρέψαντα.

Τίς σου τοὺς ἄθλους ἐξείπει μάκαρ Μελέτιε, οὓς ἐν Ῥόδῳ εἰργάσω, σκληροτάτῃ ἀσκήσει, ἱδρῶσι καὶ κάματοις, δακρύων ῥοαῖς, ἀρετῶν τὸ ἀκρότατον, ἐπιποθῶν καὶ δουλεύων περιχαρῶς, ἄχρις οὗ τὸν βίον ἔλιπες;

Πάσῃ τῇ γῇ διαλάμπεις Πάτερ Μελέτιε, καθάπερ θεῖον ἄστρον, τῇ λαμπρᾷ βιοτῇ σου, σὺν χάρισι θαυμάτων καὶ ἀρεταῖς, σκληροτάτοις παλαίσμασιν, οἷς ἐπαξίως ἐδέξω παρὰ Χριστοῦ, στέφος δόξης ἀμαράντινον.

*Δόξα. Ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια καὶ σκιρτήσωμεν ἀγαλλόμενοι τῷ πνεύματι, ἐπὶ τῇ φωτοφόρῳ πανηγύρει, τοῦ θεοφόρου Πατρός. Ἱερεῖς καὶ ἄχροντςς συντρεχέτωσαν, καὶ τὴν θείαν κάραν αὐτοῦ, περιχαρῶς κατασπασάσθωσαν. Φιλέρτοι θεόφρονες, σὺν χριστιανοῖς εὐσεβέσι, χορείαν κροτείτωσαν ἐν μέλεσι, καὶ τὸν Ὅσιον

ὑμνείτωσαν. Ἄγγελοι γὰρ ἐν οὐρανοῖς, καὶ ἄνθρωποι ἐπὶ τῆς γῆς, σήμερον λαμπρῶς συνεορτάζουσι. Ἡ Λάρδος φαιδρῶς σεμνύνεται, ἡ ἐκβλαστήσασα μυρίπνοον ἄνθος, ἡ νῆσος Ῥόδος ἐγκαυχωμένη χαίρει, καὶ ἡ τῆς Ὑψενῆς, σεβασμία μάνδρα τῆς Θεοτόκου, τὰ γέρα κομίζει τῷ μυστολέκτῃ, ὡς ὄλβον πολυτίμητον, λείψανον τούτου κατέχουσα. Καὶ ἡ τοῖς πέρασι τῆς οἰκουμένης, Χριστοῦ ἁγία Ἐκκλησία, τιμᾷ ἐνθεαστικῶς, τὸν ἰσάγγελον ἀσκητήν, καὶ ὑπηρέτην τοῦ Λόγου, ἐν ἐγκωμίοις καὶ ᾠδαῖς κραυγάζουσα· ὦ Μελέτιε παμμακάριστε, φύλαττε, φρούρει καὶ σκέπε ἡμᾶς, ἀτρώτους ἐκ πάσης ἀνάγκης καὶ βλάβης, καὶ σῷζε Ἑλλήνων τὸ γένος, τῆς ἐνεστώσης ἀπειλῆς, σὺν τῇ ποίμνῃ σου, καὶ τῷ πιστῷ λαῷ, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

